Ἡρακλ. Βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω; A
Δι. Νὴ τὸν Δί', ὡς ὄντος γε μὴ βαδιστικοῦ.
Ἡρακλ. Καθέρπυσόν νυν ἐς Κεραμεικόν. Δι. κᾆτα τί;
Ἡρακλ. Ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλόν. Δι. τί δρῶ;
Ἡρακλ. Ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ, B
Κἄπειτ', ἐπειδὰν φῶσιν οἱ θεώμενοι
Εἶναι, τόθ' εἶναι καὶ σὺ σαυτόν. Δι. ποῖ; Ηρα. κάτω.
Δι. Ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύω,
Οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην. Ἡρακλ. τί δαί;
Δι. Ἥνπερ σὺ τότε κατῆλθες. Ἡρακλ. ἀλλ' ὁ πλοῦς πολύς. C
Εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ
Ἄβυσσον. Δι. εἶτα πῶς γε περαιωθήσομαι;
Ηρ. Ἐν πλοιαρίῳ τυννουτῳί σ' ἀνὴρ γέρων
Ναύτης διάξει, δύ' ὀβολὼ μισθὸν λαβών.
Δι. Φεῦ, ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ, D
Πῶς ἠλθέτην κἀκεῖσε; Ηρ. Θησεὺς ἤγαγε.

A HE. *Vin' ergo celerem & præcipitem dicam tibi?*
BA. *Ita per Iouem: cùm ad itinera non sim idoneus:*
*Et tædium viæ perferre non queam.*
HE. *Perrepta hinc in Ceramicum.* BA. *quid tum postea?*
HE. *Inscende turrim illic excelsam.* BA *quid ibi agam?* B
HE. *Demissam illic facem despecta, & postea*
*Cùm decursores iusserint demittere*
*Facem: tum & tu præcipitem te demittito.*
BA. *Quonam?* HE. *deorsum.* BA. *sed perdiderò sic duas*
*Cerebri membranas. sa iè haud iuero hanc viam.*
C HE. *Quam igitur?* BA. *eandem, quam tu iuisti iam antea.*
HE. *Sed longa est nauigatio: Venies enim*
*Ad longè maximam, adeoq́; profundissimam*
*Paludem.* BA. *quomodo eam transmittam?* HE. *portitor*
*Quidam senex te in naulicula tantillula*
*Traijciet, acceptis à te, nauli vice,*
*Duobus tantùm obolis.* BA. *eheu, quantum duo*
D *Isti oboli vbique possunt? Verùm, dic mihi,*
*Quomodo eò perueneritis?* HE. *Theseo duce.*

Σχόλια. Κατάντη.] οὕτως Ἀττικοὶ ἀντὶ τοῦ κατωφερῆ. εὐκολώτεραι γὰρ καὶ ταχύτεραι αἱ τοιαῦται ὁδοί. Ἀφιεμένην τὴν λαμπάδα.] τοὺς λαμπαδιστὰς ἀγῶνας. λαμπαδηδρομίαι δὲ γίνονται τρεῖς ἐν τῷ Κεραμεικῷ. Ἀθηνᾶς. Ἡφαίστου. Προμηθέως. Κεραμεικὸς δὲ τόπος Ἀθήνησιν ὅπου συνετέλουν οἱ Ἀθηναῖοι κατ' ἐνιαυτὸν, λαμπαδοῦχον ἀγῶνα. πρὸς δὲ τῷ τόπῳ τούτῳ πύργον τινὰ ὑπάρχειν φασὶν, ἐφ' ὃν συμβουλεύει αὐτὸν ἀναβάντα, θεωρεῖν τὴν λαμπάδα. καὶ ὅταν οἱ πρῶτοι λαμπαδίζοντες ἀφεθῶσι, καὶ αὐτὸν ἀπὸ τοῦ πύργου ἀφεῖναι ἑαυτὸν κάτω. E Εἶναι τόθ' εἶναι.] ἀντὶ τοῦ ἀφεῖναι τοὺς δρομεῖς. τινὲς γράφουσιν εἵητε ἀντὶ τοῦ ἀφεῖτε. οἱ δρομεῖς δηλονότι. τοῦτο δὲ γνωριμώτερον ἔχει τὸν νοῦν. ἐπειδὰν οἱ θεώμενοι εἴπωσιν ἀφεῖτε δηλονότι οἱ τρέχοντες, καὶ σὺ σαυτόν. γράφεται δὲ ἐν πολλοῖς ἐστὶν, ἀντὶ τοῦ εἵητε. μήποτε τὸ δεύτερον ἐστὶ. τὸ ἓς καὶ σὺ σαυτὸν ἁμαρτανομένου τοῦ πρώτου. F λέγοι δ' ἄν τις, καὶ τοῦτο λόγον ἔχειν. ὡς τῶν θεωμένων ἐπικαλούντων τὸ σημεῖον ἀφιέντι κατὰ τὸ ἀρχαῖον σχῆμα, οὕτως ἐστὶ. ἄλλως ὅτι ἐν τῇ ἀφέσει τῆς λαμπάδος σημεῖον ἦν τοῖς μέλλουσι δραμεῖν ὡς δεῖ τοῦ δρόμου κατάρξασθαι ἦν δὲ τοῦτο πρὸ τοῦ εὑρεθῆναι παρὰ Τυρσηνοῖς τὴν σάλπιγγα.

Bisetvs. Εἶναι τόθ' εἶναι.] τούτων ὁ νοῦς ἐστὶ. ἐπειδὰν οἱ θεαταὶ λέξωσιν ἂν τοῖς δρομεῦσιν ἀφεῖναι ἑαυτοὺς πρὸς τὸ τοῦ δρόμου κατάρξασθαι, τότε καὶ σὺ εἶναι, ἤγουν ἓς, ἄφες, κάθες σαυτόν. αἱ δὲ παραλήψεις τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν, Ἰώνων εἰσὶν, Ὅμηρος Ιλ. Β.

Πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν. ἀντὶ τοῦ, ἀγόρευε.

Σχ. Ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου.] ὁ ἐγκέφαλος τῶν ἀνθρώπων ἔχει ὑφ' ἑαυτὸν ὑμένας ἐοικότας τοῖς τῆς συκῆς φύλλοις. καὶ Ἀρίσταρχος, ὅτι πρὸς τὸ σχῆμα τοῦ ἐγκεφάλου. ἔστι γὰρ ὥσπερ θρία δύο συγκείμενα. θρία δὲ, τὰ τῆς συκῆς φύλλα καὶ τὰ θρία δὲ, οὕτω σκευάζεται. λέγεται δὲ ἀπὸ τοῦ κατειλεῖσθαι τοῖς τῆς συκῆς φύλλοις. οἱ δὲ σκευασία ἐστὶ, στέαρ, μέλι, ὠὰ, σεμίδαλις. εἰώθασι δὲ καὶ τὸν ἐγκέφαλον ὀπτᾶν κατειλήσαντες τοῖς τῆς συκῆς φύλλοις, ἢ E μετὰ τῆς ἄλλης τοῦ θρίου κατασκευῆς, ἢ καὶ μόνον πρὸς ὃ παρέθηκε τὸ θρίον. Ἄβυσσος.] ἣν οὐδὲ βυθὸς δύναται χωρῆσαι. Ἴωνες δὲ τὸν βυθὸν, βυσσὸν λέγουσι.

Bisetvs. Ἄβυσσον] Εὐστάθιος. ἄβυσσος, παρὰ τὸ α ἐπιτατικὸν, καὶ τὸν βυσσὸν. ὃ τὸν βυθὸν δηλοῖ.

Σχ. Τυννουτωί σε.] συνάγων τοὺς δακτύλους καὶ τὴν παλάμην κοιλάνας φησὶν. ἀντὶ τοῦ μικρῷ. ὁμοίως δὲ καὶ τυτθὸν τὸ νήπιον. ἀντὶ τοῦ τιτθόν. τὸ ἔτι παρὰ τοῖς τιτθίοις καθεστηκός. φοβεῖ δὲ αὐτὸν, ἐπίτηδες σμικρυνῶν τὸ πλοῖον. F Δύ' ὀβολὼ μισθὸν λαβών.] οὐχ ὡς τοῦτο λαμβάνοντος. ἀλλὰ πρὸς τὸν δικαστικὸν μισθὸν ὅτι δύο ὀβολῶν ἦν. ἅμα οὖν διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος βάλλουσι δύο ὀβολοὺς, καὶ ὅτι τὸ δικαστικὸν μισθάριον, δύο ὀβολοὶ ἦσαν. ἐπιφέρεται γοῦν ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύω ὀβολώ. ὕστερον δὲ ἦν τριώβολον. τοῦτο τῶν στρατηγῶν κολακείας χάριν προστιθέντων. ἐπὶ δὲ Ἀριστοφάνους καὶ δραχμὴν ἦν λαβεῖν.

G Bisetvs. Φεῦ.] τινὲς μέτρου χάριν τὸ φεῦ νομίζουσιν ἐκβλητέον. διὸ καὶ τὰ παλαιὰ σχόλια τοῦτο παραλιπεῖν δοκεῖ.

Σχόλια. Θησεὺς ἤγαγε.] ὅτε κατῆλθε μετὰ Πειρίθου εἰς Ἀϊδωνέα ἁρπάσαι βουλομένου τὴν κόρην τῆς Δήμητρος Περσεφόνην. ἢ διὰ τὸ θητεύειν τὸν Χάρωνα διαπορθμεύοντα.